γον οὖν οἱ ἄνθρωποι, ἐθεασάμεθα χρυσᾶ μῆλα, ἃ Ηρακλῆς ἤγαγεν ἐξ Εσπερίδων, τὸν φύλακα ἀποκτείνας δράκοντα. καὶ ἔνθεν ὁ μῦθος προσανεπλάσθη.

Κεφ. κ.

## ΠΕΡΙ ΚΟΤΤΟΥ ΚΑΙ ΒΡΙΑΡΕΩΣ.

Φασὶν οὖν περὶ τούτων, ὡς ἔσχον ἑκατὸν χεῖρας, ἄνδρες ὄντες. πῶς δὲ οὐκ εὔηθες τὸ τοιοῦτον; τὸ δὲ ἀληθὲς οὕτως. τῇ πόλει ὄνομα Εκατονταχειρία, ἐν ᾗ ᾤκουν. ἦν δὲ πόλις τῆς νῦν καλουμένης Ορεστιάδος. ἔλεγον οὖν οἱ ἄνθρωποι, Κόττος, καὶ Βριάρεως, καὶ Γύγης, οἱ Εκατοντάχειρες, βοηθήσαντες τοῖς θεοῖς, αὐτοὶ ἐξήλασαν τοὺς Τιτᾶνας ἐκ τοῦ Ολύμπου.

Κεφ.